𝔊 παρ᾽ αὐτῷ κατάλυσις· [23] σοί, κύριε τῶν πατέρων μου, ἐξομολογοῦ- 23
μαι καὶ αἰνῶ, ὅτι σοφίαν καὶ φρόνησιν ἔδωκάς μοι καὶ νῦν ἐσή-
μανάς μοι ὅσα ἠξίωσα τοῦ δηλῶσαι τῷ βασιλεῖ πρὸς ταῦτα. [24] εἰσ- 24
ελθὼν δὲ Δανιηλ πρὸς τὸν Αριωχ τὸν κατασταθέντα ὑπὸ τοῦ
βασιλέως ἀποκτεῖναι πάντας τοὺς σοφιστὰς τῆς Βαβυλωνίας εἶπεν
αὐτῷ Τοὺς μὲν σοφιστὰς τῆς Βαβυλωνίας μὴ ἀπολέσῃς, εἰσάγαγε
δέ με πρὸς τὸν βασιλέα, καὶ ἕκαστα τῷ βασιλεῖ δηλώσω. [25] τότε 25
Αριωχ κατὰ σπουδὴν εἰσήγαγεν τὸν Δανιηλ πρὸς τὸν βασιλέα καὶ
εἶπεν αὐτῷ ὅτι Εὕρηκα ἄνθρωπον σοφὸν ἐκ τῆς αἰχμαλωσίας τῶν
υἱῶν τῆς Ιουδαίας, ὃς τῷ βασιλεῖ δηλώσει ἕκαστα. [26] ἀποκριθεὶς δὲ 26
ὁ βασιλεὺς εἶπε τῷ Δανιηλ ἐπικαλουμένῳ δὲ Χαλδαϊστὶ Βαλτασαρ
Δυνήσῃ δηλῶσαί μοι τὸ ὅραμα, ὃ εἶδον, καὶ τὴν τούτου σύγκρι-
σιν; [27] ἐκφωνήσας δὲ ὁ Δανιηλ ἐπὶ τοῦ βασιλέως εἶπεν Τὸ μυστή- 27
ριον, ὃ ἑώρακεν ὁ βασιλεύς, οὐκ ἔστι σοφῶν καὶ φαρμακῶν καὶ
ἐπαοιδῶν καὶ γαζαρηνῶν ἡ δήλωσις, [28] ἀλλ᾽ ἔστι θεὸς ἐν οὐρανῷ 28
ἀνακαλύπτων μυστήρια, ὃς ἐδήλωσε τῷ βασιλεῖ Ναβουχοδονοσορ
ἃ δεῖ γενέσθαι ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν. βασιλεῦ, εἰς τὸν αἰῶνα
ζῆθι· τὸ ἐνύπνιον καὶ τὸ ὅραμα τῆς κεφαλῆς σου ἐπὶ τῆς κοίτης

28 επ εσχ. των ημ. ⌒ 29 επ εσχ. των ημ. 88

---

θ′ αὐτοῦ ἐστιν· [23] σοί, ὁ θεὸς τῶν πατέρων μου, ἐξομολογοῦμαι καὶ 23
αἰνῶ, ὅτι σοφίαν καὶ δύναμιν ἔδωκάς μοι καὶ νῦν ἐγνώρισάς μοι
ἃ ἠξιώσαμεν παρὰ σοῦ καὶ τὸ ὅραμα τοῦ βασιλέως ἐγνώρισάς μοι.
[24] καὶ ἦλθεν Δανιηλ πρὸς Αριωχ, ὃν κατέστησεν ὁ βασιλεὺς ἀπ- 24
ολέσαι τοὺς σοφοὺς Βαβυλῶνος, καὶ εἶπεν αὐτῷ Τοὺς σοφοὺς Βα-
βυλῶνος μὴ ἀπολέσῃς, εἰσάγαγε δέ με ἐνώπιον τοῦ βασιλέως, καὶ
τὴν σύγκρισιν τῷ βασιλεῖ ἀναγγελῶ. [25] τότε Αριωχ ἐν σπουδῇ εἰσ- 25
ήγαγεν τὸν Δανιηλ ἐνώπιον τοῦ βασιλέως καὶ εἶπεν αὐτῷ Εὕρηκα
ἄνδρα ἐκ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς Ιουδαίας, ὅστις τὸ σύγ-
κριμα τῷ βασιλεῖ ἀναγγελεῖ. [26] καὶ ἀπεκρίθη ὁ βασιλεὺς καὶ εἶπεν 26
τῷ Δανιηλ, οὗ τὸ ὄνομα Βαλτασαρ Εἰ δύνασαί μοι ἀναγγεῖλαι τὸ
ἐνύπνιον, ὃ εἶδον, καὶ τὴν σύγκρισιν αὐτοῦ; [27] καὶ ἀπεκρίθη Δανιηλ 27
ἐνώπιον τοῦ βασιλέως καὶ λέγει Τὸ μυστήριον, ὃ ὁ βασιλεὺς ἐπ-
ερωτᾷ, οὐκ ἔστιν σοφῶν, μάγων, ἐπαοιδῶν, γαζαρηνῶν ἀναγγεῖλαι
τῷ βασιλεῖ, [28] ἀλλ᾽ ἢ ἔστιν θεὸς ἐν οὐρανῷ ἀποκαλύπτων μυστήρια 28
καὶ ἐγνώρισεν τῷ βασιλεῖ Ναβουχοδονοσορ ἃ δεῖ γενέσθαι ἐπ᾽
ἐσχάτων τῶν ἡμερῶν. τὸ ἐνύπνιόν σου καὶ αἱ ὁράσεις τῆς κεφα-

23 εδωκας] δεδ. B† | νυν > B || 26 ο ειδον > A† || 27 λεγει B*pau.] ειπεν rel. | επερωτα] επ > B† || 28 αλλ η] η > A | θεος] pr. ο A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/881 UNIVERSITÄT LEIPZIG